tunc pubeſcit, cæterorum autem animantium, quæ pilis teguntur, nullum tunc pubeſcere incipit? An quòd per ætates mutari animantes in contrarium ſolent. Vox enim grauis de acuta efficitur, & nuda quæ antè fuerunt, hirta redduntur. Vnde etiam animantes à primo natali die hirſutas, enudari debere tunc, non denſeſcere, conſtat, cùm ſemen habere incipiunt: ſed ita euenit, quia quæ ſemen effundunt, ſicciora fiunt, & laxiora: quibus de cauſis pilus oritur: quod inde ſanè patet. Pilus enim neque cicatricibus, neque pueris, neque mulieribus exit, cùm ſcilicet cicatrices ſpiſſo contextu, non rarò inducantur: pueri, mulieréſque corpore humido ſint, non ſicco. 5 Cur nuditas pedum obeſſe in re venerea poteſt? An quoniam corpus, quod concubiturum ſit, calidum intus, atque humidum eſſe debet, quale per ſomnum potius eſſe, quàm per vigiliam, ſolet: ex quo etiam celeriter, ac ſine corporis agitatione ſemen dormientibus profluit, vigilantibus verò non ſine labore prodit. Simul autem fit, vt & reliquum corpus tale exiſtat, & pedes humidiores ſint, atque calidiores. Indicium quòd cùm dormimus, pedes obtepeſcere ſolent, vt qui vnà cum internis partibus ita afficiantur. At nuditas pedum è contrario agit: ſiccat enim, atque refrigerat. Itaque ſiue impoſſibile, ſiue difficile ſit, vt res agatur venerea, niſi pedibus calidis, eam tamen nuditatem in vſu concumbendi, incommodam eſſe neceſſe eſt.

6 Cur omnium maximè animantium homo, poſtquam concubuit, diſſoluitur, & langueſcit? An quòd ſemen proportione ſui corporis plurimum emittit. 7 Sed cur plurimum homo emittit? An quòd minus cibum is conficit, & omnium maximè animantium humidus natura, & calidus eſt: quarum rerum altera ſeminis copiam reddit, altera naturæ vim efficit ad ſemen creandum: ſemen etenim tale eſt, quandiu ſeruatur. 8 Quam ob cauſam cùm ratio concumbendi calore contineatur, timor autem, & mors refrigerandi vim habeant, pleriſque tamen cùm ab his ipſis tenentur affectibus, ſemen excurrit? An quòd cum loca quædam corporis refrigerantur, alia quædam intepeſcunt, cùm & ſuum calorem habeant, & pulſum de locis refrigeratis illum ipſa ſuſcipiant. Quamobrem frigentibus quidem id euenit, verùm non quia frigent, ſed quia calent. Conſtat hoc etiam ipſo aſpectu: partes enim ſuperiores timentium ſanguine priuantur, inferiores autem humeſcunt, & aluus ſoluitur, & veſica. Calor igitur cùm ſe per timorem deorſum, per

A ἡβᾷ· τῶν δὲ ἄλλων ζώων ὅσα τρίχας ἔχει, οὐθέν; ἢ ἐπειδὴ κατὰ τὰς ἡλικίας μεταβάλλει τὰ ζῶα εἰς τοὐναντίον; φωνή τε γὰρ βαρεῖα ἐξ ὀξείας γίνεται, καὶ δασύνεται ἐκ ψιλῶν; δῆλον οὖν ὡς καὶ τὰ ἐκ γενετῆς δασέα ζῶα ψιλοῖτ' ἂν, οὐ δασύνοιτο, σπερματικὰ γινόμενα. πάσχει δὲ τοῦτο, διὰ τὸ τὰ σπερμαίνοντα ξηρότερα γίνεσθαι καὶ ἀραιότερα· ἐξ ὧν θρὶξ φύεται. δῆλον δὲ ἐκ τοῦ μὴ B ἐν ταῖς οὐλαῖς φύεσθαι τρίχας, μηδὲ τοῖς παιδίοις καὶ γυναιξίν. ε Διὰ τί ἡ ἀνυποδησία οὐ συμφέρει πρὸς ἀφροδισιασμούς; ἢ ὅτι τὸ μέλλον ἀφροδισιάζειν σῶμα, δεῖ τὰ ἐντὸς θερμὸν εἶναι καὶ ὑγρόν; τοιοῦτο δὲ ἐν τοῖς ὕπνοις μᾶλλον, ἢ ἐν τῷ ἐγρηγορέναι. διὸ καὶ ταχὺ καὶ ἄνευ ἐργασίας οἱ ἐξονειρωγμοὶ γίνονται· ἐγρηγορόσι δὲ, μετὰ πόνου. ἅμα δὲ τὸ C σῶμα τοιοῦτον, καὶ οἱ πόδες ὑγρότεροι καὶ θερμότεροι. σημεῖον δὲ, ὅτι καθευδόντων, θερμοὶ, ὡς ἅμα τοῖς ἐν τοῖς ἐντὸς οὕτως ἔχοντες. ἡ δὲ ἀνυποδησία, τοὐναντίον ποιεῖ· ξηραίνει γὰρ καὶ ψύχει. ὥστ', εἴτε ἀδύνατον μὴ θερμῶν ὄντων ἀφροδισιάσαι, εἴτε χαλεπὸν, ἀνάγκη ἀσύμφορον εἶναι πρὸς τὴν τῶν ἀφροδισίων χρῆσιν. ϛ Διὰ τί ἐκλύεται μάλιστα τῶν ζώων ἀφροδισιάσας ὁ ἄνθρωπος; ἢ D διότι πλεῖστον προΐεται σπέρμα κατὰ λόγον τοῦ σώματος; ζ Διὰ τί δὲ πλεῖστον προΐεται; ἢ ὅτι ἥκιστα ἐκπονεῖ τὴν τροφὴν, καὶ φύσει ὑγρὸν καὶ θερμόν ἐστι τῶν ζώων μάλιστα; ὧν τὸ μὲν, ποιεῖ σπέρμα πολύ· τὸ δὲ, τὴν φύσιν σπερματικὴν ποιεῖ; καὶ γὰρ τὸ σπέρμα τοιοῦτόν ἐστιν, ἕως ἂν σώζηται. η Διὰ τί τοῦ ἀφροδισιάζειν γινομένου διὰ θερμότητα, τοῦ E δὲ φόβου ὄντος ψυκτικοῦ καὶ τοῦ ἀποθνήσκειν, ἐνίοις ὅταν γένωνται ἐν τούτοις τοῖς πάθεσι, σπέρμα προέρχεται; ἢ ὅτι ψυχομένων ἐνίων τόπων, ἕτεροι ὑποθερμαίνονται, τήν τε οἰκείαν ἔχοντες θερμότητα, καὶ δεχόμενοι τὴν τῶν καταψυχομένων τόπων; ὥστε καταψυχομένων μὲν συμβαίνει, οὐ διὰ τὸ ψύχεσθαι [δὲ] μόνον, ἀλλὰ καὶ διὰ τὸ θερμαίνεσθαι. F δῆλον δὲ καὶ τῇ ὄψει. τῶν γὰρ φοβουμένων τὰ ἄνω λειφαιμεῖ, τὰ δὲ κάτω ὑγραίνεται, καὶ κοιλία καὶ κύστις λύεται. ὑπιὸν οὖν τὸ θερμὸν,